*Μὴ δ' ἕτερον κεύθηις κραδίηι νόον ἄλλ' ἀγορεύων,*
*μηδ' ὡς πετροφυὴς πολύπους κατὰ χῶρον ἀμείβου.*
*πᾶσιν δ' ἁπλόος ἴσθι, τὰ δ' ἐκ ψυχῆς ἀγόρευε.*
*Ὅστις ἑκὼν ἀδικεῖ, κακὸς ἀνήρ· ἢν δ' ὑπ' ἀνάγκης,*
*οὐκ ἐρέω τὸ τέλος. βουλὴ δ' εὐθύνεθ' ἑκάστου.*
*Μὴ γαυροῦ σοφίηι μήτ' ἀλκῆι μήτ' ἐνὶ πλούτωι·*
*εἷς θεός ἐστι σοφὸς δυνατός θ' ἅμα καὶ πολύολβος.*
*Μὴ δὲ παροιχομένοισι κακοῖς τρύχου τεὸν ἦπαρ·*
*οὐκέτι γὰρ δύναται τὸ τετυγμένον εἶναι ἄτυκτον.*
*Μὴ προπετὴς ἐς χεῖρα, χαλίνου δ' ἄγριον ὀργήν·*
*πολλάκι γὰρ πλήξας ἀέκων φόνον ἐξετέλεσσεν.*
*Ἔστω κοινὰ πάθη· μηδὲν μέγα μηδ' ὑπέροπλον.*
*οὐκ ἀγαθὸν πλεονάζον ἔφυ θνητοῖσιν ὄνειαρ·*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id40454875X/106 UNIVERSITÄT LEIPZIG